* Some curious critics warn us not to render *βασιλευς* by "queen," —as the *male τεττιξ* is the vocalist: but probably Anacreon in-

Digitized by Google

αειδεις· γαρ σα εστι παντα κεῖνα ὁποσα
thou-singest: foi thine are all those-*things* whatever
βλεπεις εν αγροῖς, και ὁποσα ὡραι φερουσι.
thou-seest in *the*-fields, and whatever *the*-seasons produce.
Δε συ φιλιος γεωργῶν, απο-βλαπτων τι
And thou *art* a-friend of-husbandmen, hurting aught
μηδενος. Δε συ τιμιος βροτοῖσι, γλυκυς
of-no-one's. And thou *art* honoured by-mortals, sweet
προφητης θερεος. Μοῦσαι μεν φιλεουσι σε· δε
harbinger of-summer. *The*-Muses indeed love thee: and
Φοῖβος αυτος φιλεει, δε εδωκε λιγυρην
Phœbus himself loves-*thee*, and he-gave-*thee* a-shrill
οιμην. Δε γῆρας ου τειρει σε, σοφε, γηγενης,*
voice. And old-age wears not thee, *O*-wise-*one*, earth-born,
φιλυμνε, απαθης, αναιμε, ασαρκε· εῖ σχεδον
song-loving, passionless, bloodless, fleshless: thou-art almost
ὁμοιος θεοῖς.
like *the*-gods.

ΜΓ.—ΕΙΣ ΤΟ ΈΑΥΤΟΥ ΟΝΕΙΡΟΝ.
43.—ON HIS OWN DREAM.

Εδοκουν οναρ† τροχαζειν φερων πτερυγας επι
I-seemed *in*-a-dream to-run bearing wings on

---

tended the *next* line to express the attributes of royalty. This species of locust settling upon *trees* is very different of course from our own *grasshopper*; though perhaps it would be difficult to fix its proper English name.

* The ancient Athenians compared themselves to these "godlike" evergreens—either in respect of being αυτοχθονες or μουσικοι,—and boastfully wore golden "tettiges" in their hair.—*Thucyd. Book* i. *Ch.* 6.

† Οναρ is often used alone, the preposition κατα being understood.

Digitized by Google

ωμων· δε ὁ-Ερως, εχων μολυβδον περι τοῖς-
my-shoulders: and Cupid, having lead on his-
καλοῖς ποδισκοις, εδιωκε, και κιχᾱνεν. Τι θελει
beautiful little-feet, pursued, and overtook-*me*. What would
τοδε οναρ εἶναι;* Εγωγε δοκεω με πλακεντα
this dream be? I-indeed think that-I being-involved
εν πολλοῖς ερωσι, εν αλλοις διολισθανεῖν, τῳ-
in many loves, in others shall-slip-through, but-by-
δε ἑνι συνδεθῆναι.
this one be-fettered.

ΜΔ'—ΕΙΣ ΤΑ ΒΕΛΗ ΤΟΥ-ΕΡΩΤΟΣ.
44.—ON THE ARROWS OF-CUPID.

Ὁ ανηρ ὁ-τῆς-Κυθηρης παρα Λημνιαις καμῑνοις,
The husband of-Cythera at *the*-Lemnian furnaces,
λαβων σιδηρον, εποιει τα βελη τα-τῶν Ερωτων·
having-taken steel, was-making the arrows of-the Loves:
δε Κυπρις, λαβοῦσα το-γλυκυ μελι, εβαπτε
and Venus, having-taken sweet honey, was-dipping
ακιδας, δε ὁ-Ερως εμισγε χολην. Δε ὁ-Αρης,
the-points, but Cupid was-mingling gall. But Mars,
ποτε εξ αὐτῆς, κραδαινων στιβαρον δορυ,†
by-chance from battle, brandishing a-massive spear,

---

* The sentiment of this pretty ode, divested of all allegorical ornament, will be simply this: that passion suddenly conceived is fleeting, but that love which gradually grows upon the heart makes an indelible impression.

† The proportions of the spear and arrow are happily contrasted, to enhance the delicacy of the weapon that inflicts the deeper wound —απ' ομματων βαλον.

Digitized by Google

ηυτελιζε Ερωτος βελος. Δε ὁ-Ερως ειπε, τοδε
made-light-of Cupid's dart. But Cupid said, this
εστι βαρυ· πειρασας νοησεις. Αρης
is heavy: having-tried you-will-acknowledge-*it*. Mars
ελαβεν βελεμνον· Κυπρις ὑπεμειδιᾶσε. Δε ὁ-Αρης,
took *the*-weapon: Venus slily-smiled. And Mars,
αναστεναξας, φησι, Βαρυ, ἆρον αυτο. Δε ὁ-Ερως
deeply-sighing, says, '*Tis*-heavy, take it. But Cupid
φησι, Ἐχε αυτο.
says, Keep it.

ΜΕ'.—ΕΙΣ ΕΡΩΤΑ.
45.—ON LOVE.

Χαλεπον το-μη-φιλῆσαι, δε χαλεπον και φιλῆσαι·
It-is-painful not-to-love, and painful even to-love
δε χαλεπωτερον παντων αποτυγχανειν φιλοῦντα.
but more-painful than-all to-be-unfortunate *in*-loving.
Γενος ουδεν εις ερωτα· σοφιη, τροπος,* πα-
Birth *is* nothing to love: wisdom, genius, is-
τεῖται. Βλεπουσιν αργυρον μονον. Απολοιτο
trodden-*down*. They-look-to money alone. Perish
αυτος ὁ πρῶτος φιλησας† τον-αργυρον. Δια
the-man who first loved money. Through

---

* Τροπος (from τρεπω, to turn, or change) expresses either *disposition*, as referring to its sense of *inclination*; or *genius*, as involving the idea of *versatility*, the pliancy with which a mind conforms to different pursuits being a pretty fair criterion of talent.

† The article combined with the participle, as ὁ-φιλησας, "the *man* having loved," may generally be rendered more clearly as above, by the relative pronoun and finite verb.

Digitized by Google

τοῦταν ουκ ἀδελφος, δια τοῦτον οι
this *there-is* no brother, through this *there-are* no
τοκῆες· πολεμοι, φονοι, δια αυτον. Δε το-
parents: wars, murders, *are* through him. But what-
χεῖρον, δια τοῦτον οἱ-φιλοῦντες ολλυμεσθα.
is-worse, through this *we*-lovers perish.

Μϛ'. — ΕΙΣ ΓΕΡΑΙΟΝ.
46.—ON AN OLD MAN.

Φιλῶ τερπνον γεροντα, φιλῶ νεον χορευταν. Δε
I-love a-joyous old-*man*, I-love a-youthful dancer. But
ὁταν γερων χορευῃ, εστι γερων τριχας μεν, δε
when an-old-*man* dances, he-is old *in*-hair indeed, but
νεαζει ταϛ-φρενας.
he-is-young *in*-soul.

ΜΖ'. — ΑΛΛΟ ΩΙΔΑΡΙΟΝ.
47.—ANOTHER LITTLE-ODE.

Δοτε μοι Ὁμηρου λυρην ανευϑε φονιης
Give to-me Homer's lyre without *its*-blood-stained
χορδῆϛ· φερε μοι κυπελλα θεσμῶν· φερε μοι,
string: bring to-me cups of-statutes: bring *them* to-me,
κερασσω νομουϛ,* ὁπως μεϑυων χορευ-
I-will-dispense laws, that intoxicated I-may-

* Νομουϛ.—It appears to have been customary with the luxurious Ionians to legislate over their wine. Herodotus mentions (*Clio*, § 133.) that the Persians also had always two deliberations on a measure of importance, the former commonly when the party was drunk, the latter, when sober, — though sometimes *vice versâ*. Perhaps these Eastern nations might retort upon some other people, that "a dinner" is almost a *sine quâ non* for a meeting on public business.

Digitized by Google

σω,* δε αειδων μετα βαρβιτων ὑπο σωφρονος†
dance, and singing with *the*-lyre under conscious
λυσσης βοησω το παροινιον.
phrenzy I-may-sound the drinking-song.

ΜΗ'.—ΕΙΣ ΖΩΓΡΑΦΟΝ.
48.—TO A PAINTER.

Αγε, αριστε ζωγραφων, ακουε ἑτεροπνοους εναυλους
Come, best of-painters, hear *the*-double-breathing flutes
λυρικῆς Μουσης, φιλοπαιγμονος-τε Βακχου· γραφε
of-*the*-lyric Muse, and-of-sport-loving Bacchus: paint
το-πρῶτον τας πολεις ἱλαρας-τε και γελωσας· δε
first the cities glad and smiling: and
αν ὁ κηρος δυναιτο, γραφε και νομους φιλοῦν-
if the wax permit, paint also laws of-
των.‡
lovers.

---

* Χορευσω.—The conjunction ὁπως, which requires the *subjunctive* mood of any *other* tense, admits the *indicative* of the *future*; though the *aorist subjunctive* is more usual after ὁπως, when it signifies, as here, the *final object*. (See Brunck's Note to the "Clouds" of Aristophanes, v. 490.)

† Σωφρονος.—This apparent *oxymōron* may perhaps be reconciled, by referring the expression to that species of pleasurable excitement, which leaves the party the full consciousness of being rather μετεωρος; as the epithet literally means "preserving the mind." This would seem to be the main distinction between *unnatural* and *genuine* insanity; the *latter* only perfectly imposing on the fancy of the patient.

In form of expression, though not in idea, this phrase resembles that of Terence's Parmeno—*Cum ratione insanire.*

‡ Another allusion to the famous shield of Achilles: a compartiment whereof exhibited a city (*Iliad* xviii. *v.* 490), in which two

Digitized by Google

ΜΘ'.—ΕΙΣ ΔΙΟΝΥΣΟΝ.
49.—ON BACCHUS.

Ὁ τελεων τον νεον ατειρῆ εν πονοις,
The *God* who-makes the youth unwearied in toils,
αταρβῆ εν ποθοις, καλον χορευτην εν ποτοις, Θεος
intrepid in loves, a-good dancer in cups, *the*-god
κατῆλθε, —— κομιζων απαλον φιλτρον βροτοῖσι,
hath-descended,— bringing a-soft philtre to-mortals,
ποτον αστονον,—φυλαττων τον οἶνον, γονον
a-draught without-a-sigh,—guarding the wine, offspring
αμπελου, πεπεδημενον οπωραις επι κληματων·
of-*the*-vine, confined in-fruit upon *the*-branches:
ἱνα παντες, ὁταν ταμωσι βοτρυν, μενωσι
that all, when they-have-cut a-cluster, may-remain
ανοσοι, — ανοσοι θειτον δεμας, ανοσοι τε
undiseased,—undiseased *in*-sightly body, undiseased too
γλυκυν θυμον, ες αλλου ετοῦς* φανεντος.
in-sweet soul, till another year's appearing.

Ν'.—ΕΙΣ ΔΙΣΚΟΝ ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ.
50.—ON A MEDAL CONTAINING VENUS.

Αρα-τις τορευσε ποντον; αρα-τις μανεῖσα τεχνη
Who-then embossed *the*-ocean? what inspired art

---

distinct scenes were enacted:—the one representing two *litigants* pleading about *damages*; the other the ceremonies of a *bridal*. Anacreon appears to think the illustration of the "laws of lovers" the more amusing of the two. Unhappily, in *our* courts the two subjects are frequently combined.

* The word χρονον may be understood after the preposition ες, to reconcile the construction of the genitive case ετοῦς, — "till *the time* of another year having appeared."

Digitized by Google

αν εχευε δισκῳ κῦμα επι νῶτα τῆς
por jured-upon a-medal *the*-wave on *the*-back of-the
θαλασσης; Αρα-τις νοος, αερθεις εις Θεους, χα-
sea? What mind, exalted to *the*-Gods, in-
ραξε ὑπερ θαλασσαι ἁπαλην Κυπριν, αρχην
graved upon *the*-sea tender Venus, origin
φυσιος μακαρων;—Ὁ-δε εδειξε νιν γυμνην,
of-*the*-nature of-*the*-blest?—And-he hath-shewn her naked,
και ὁσα θεμις μη ὁρᾶσθαι, μονα κῦ-
and whatever-*parts* may not be-seen, *those*-only *the*-
μα συγκαλυπτει. Δε αλαλημενη επι ακταν,
wave conceals. And wandering toward *the*-shore,
ὡς λευκον βρυον ὑπερθε ἁπαλοχροου γαληνης,
as a-white sea-weed upon *the*-soft-hued calm,
φερουσα δεμας ες πλοον, ἑλκει ῥοθιον πα-
bearing *her*-form for floating, she-draws *the*-current from-
ροιθε. Υπερθε ῥοδεων μαζῶν, ενερθε ἁπαλῆς
before-*her*. Above *her*-rosy breasts, below *her*-tender
δειρῆς, πρῶτα τεμνει μεγα κῦμα.* Δε μεσον
neck, first she-cleaves *the*-vast wave. And *in-the*-midst
αυλακος Κυπρις διαφαινεται γαληνης, ὡς
of-*the*-furrow Venus shines-through *the*-calm, as
κρινον ἑλιχθεν ιοις. Δε Ερος, Ἱμερος, γελῶντες,
a-lily wrapt in-violets. And Love, *and* Desire, laughing,
δολεροι νεον μετοπον, ὀχοῦνται ὑπερ αργυρῳ,
guileful *with*-youthful forehead, ride over *the*-silver,
επι χορευταῖς δελφισιν. Δε κυρτος χορος ιχθυων,
on dancing dolphins. And a-winding train of-fishes,

---

* Expressing that her *neck* only appears above the surface of the water, according to the usual mode of swimming; or as Shakspeare forcibly describes it, "*breasting* the lofty surge."

Digitized by Google

κυβιστῶν επι κυματων, παιζει το σῶμα Παbounding on *the*-waves, sports-about the body of-*the*-

φιης, ἱνα νηχεται γελῶσα.
Paphian-*queen*, where she-swims smiling.

ΝΑ'—ΕΠΙΛΗΝΙΟΣ ΩΙΔΗ.
51.—VINTAGE SONG.

Ανδρες μετα παρθενων φερουσιν τον μελανοχρωτα
Men with maidens bear the dark-hued

βοτρυν ταλαροις επι ωμων· δε βαλοντες
cluster in-baskets on *their* shoulders: but having-cast-*it*

μετα ληνον, μονον αρσενες πατοῦσι σταinto *the*-wine-press, only males trample *the*-

φυλην, λυοντες* οἶνον, μεγα κροτοῦντες τον
grape, pressing-out wine, greatly applauding the

θεον επιληνιοισιν ὑμνοις, ὁρῶντες ες νεον† ερατου
God with-vintage hymns, looking at young lovely

Βακχον ζεοντα πιθοις· ὁν ὁταν γεραιος
Bacchus mantling in-casks: which when an-old-*man*

πιῃ, τρομεροῖς ποσιν χορευει, τινασσων
hath-drunk, with-tottering feet he-dances, shaking

πολιας τριχας. Δε ὁ ερατος νεος μεθυσθεις,
his hoary hairs. But the lovely youth intoxicated,

λοχησας παρθενον χυθεῖσαν ἁπαλον δεμας,
having-surprised a-virgin extended *as to* delicate body,

---

* Λυοντες, literally, "letting-loose" wine, as if before *imprisoned*—as in Ode 44.

† It is difficult to combine in English the *real* and *personal* attributes of Βακχος.

Digitized by Google

σκιερῶν φυλλων ὑπερθε, βεβαρημενην ες ὑπνον—
with shady leaves above, sunk-heavily to sleep—
ες ερωτα αωρα θελγει, γενεσθαι προδοτιν
to love untimely woos *her*, to-become traitress
γαμων. Ὁ-δε μη πειθων λογοισι, τοτε
of-bridal-joys. But-he not persuading with-words, then
αγχει μη θελουσαν. Γαρ μετα νεων ὁ μεθυων
presses *her* not willing. For among youths the drunken
Βακχος παιζει ατακτα.
Bacchus sports disorderly.

ΝΒ'.—ΕΙΣ 'ΡΟΔΟΝ
52—ON A ROSE.

Μετα στεφανηφορου Ηρος μελπομαι θερειον
With garland-bearing Spring I-sing *the*-summer
ῥοδον. Συ-δε, εταιρε, αεξε μελπειν.* Γαρ
rose. And-thou, *my*-comrade, swell *the*-song. For
τοδε αημα Θεῶν, τοδε και το χαρμα βροτῶν,
this *is the* breath of-Gods, this also *is* the charm of-mortals,
αγαλμα-τε Χαρισιν εν ὡραις πολυανθεων
and-a-trophy to-*the*-Graces in seasons of-many-flowered
Ερωτων, αθυρμα-τε Αφροδισιον. Τοδε και μελημα
Loves, and-a-toy of-Venus. This also *is* a-favorite
μυθοις·† χαριεν φυτον τε Μουσῶν· γλυκυ και
for-fables: a-darling plant too of-*the*-Muses: sweet also

---

* The verb μελπειν, to sing, is here taken as the substantive μολπην, a song.

† Query—Did Anacreon *anticipate* the beautiful fable of the

Digitized by Google

ποιοῦντι πεῖραν εν ακανθιναις αταρποῖς·
to-*the-traveller*-making trial in thorny paths:
δε γλυκυ αῦ λαβοντι θαλπειν μαλακαῖσι
and sweet again to-*one*-having-taken-*it* to-cherish with-tender
χερσι, κουφως προσαγοντι ανθος Ερωτος.
hands, lightly applying-*to-the-sense this*-flower of-Love.
Τοδε αυτο τερπνον τῷ σοφῳ, θαλιαις-τε
The same *is*-delightful to-the wise-one, and-to-banquets
και τραπεζαις,* Διονυσιοις-τε ἑορταῖς. Δε τι αν-
and to-tables, and-to-Bacchanalian feasts. For what could-
γενοιτο ανευ ῥοδου; Ηως-μεν ῥοδοδακτυλος,
there-be without *the*-rose? Aurora *is* rosy-fingered,
δε Νυμφαι ῥοδοπηχεες, δε Αφροδῖτα και καλεῖται
and Nymphs rosy-armed, and Venus too is-called
ὁδοχρους παρα τῶν σοφῶν.† Τοδε και αρκεῖ
rosy-coloured by the wise. This also aids
νοσοῦσιν, και τοδε αμῦνει νεκροῖς, και τοδε βιᾶται
the-sick, and this defends *the*-dead, and this overpowers
χρονον· δε χαριεν γῆρας ῥοδων εσχεν οδμην
time: and *the*-grateful old-age of-roses has a-smell

Rose, "Sultana of the Nightingale," so justly a favourite with later Eastern poets? — Witness the conclusion of the "Bride of Abydos."

* The Greek word τραπεζα, and the Latin *mensa*, like the English "board" or "table," are ambiguous terms; signifying not only the article of household furniture, but the viands placed thereon: with this difference, however, that the Greek and Latin are confined to distinct *courses*, as τραπεζα πρωτη, *the first course*, — probably from the original custom of changing the tables every *remove*.

† The term σοφοι is here applied to *poets*, who seem to have ranked with "philosophers" in ancient times.

Digitized by Google

νεοτητος.* Φερε δη, λεγωμεν φυην. Οτε εκ
of-youth. Come then, tell-we *its*-birth. When from
χαροπῆς θαλασσης Ποντος ελοχευε Κυθηρην δε-
the-glad deep Ocean brought-forth Cythera be-
δροσωμενην αφρῳ· δε Ζευς κορυφῆς εδεικνυε
dewed with-foam: and Jove from-*his*-head displayed
πολεμοκλονον Αθηνην, φοβεραν θεαν Ολυμπῳ· τοτε
war-sounding Minerva, a-startling sight to-Olympus: then
και Χθων ηνθισε νεον ερνος αγητῶν ῥοδων,
also Earth budded-*forth* a-new scion of-radiant roses,
πολυδαιδαλον λοχευμα. Δε ὁμιλος μακαρων
a-many-varied birth. For *the*-conclave of-blessed
Θεῶν, επιτεγξας νεκταρ, ὡς ῥοδον γε-
Gods, having-sprinkled-on-*it* nectar, that *the*-rose might-
νοιτο, ανετειλεν εξ ακανθης αγερωχον αμβρο-
be-born, made-spring from a-thorn *the*-proud im
τον φυτον Λυαιου.
mortal plant of-Lyæus.

ΝΓ'.—ΕΙΣ ΈΑΥΤΟΝ.
53.—ON HIMSELF.

Οτε εγω εσορῶ ὁμιλον νεων, ἡβα
When I behold a-company of-young-*men*, youth

---

* Dr. Johnson, in his Preface to Shakspeare, has justly remarked on the absurdity of denying the merit of *originality* to a modern writer, whenever some ancient author happens to have expressed a similar idea, — instancing the words of Caliban, "I cried to sleep again," which had been derived by some from Anacreon's ταλιν ηθελον καθενδειν, Ode 9. The same fastidious critics might perhaps find here the prototype of another poet's beautiful expression, "redolent of joy and youth," — which, however, the same Doctor, in his Life of Gray, has unjustly stigmatized, as unprecedented and overstrained.

Digitized by Google

παρεστι· τοτε, δη τοτε, εγω, ὁ γερων, πτεροῦμαι
is-by-*me*: then, ay then, I, the old-man, am-winged
ες χορειην. Περιμεινον με, Κυβηβα, δος ῥοδα,
for a-dance. Attend me, Cybele, give-*me* roses,
θελω στεφεσθαι. Δε πολιον γῆρας — ἑκας.
I-wish to-crown-myself. But hoary age — avaunt!
Νεος εν νεοις χορευσω. Δε τις
A-youth amid youths I-will-dance. And let- some-one
φερετω εμοι δῶρον οπωρης Διονυσιης, ἱνα
-bring to-me a-gift of-*the*-fruit of-Bacchus, that
ἰδῃ αλκην γεροντος, δεδαηκοτος μεν
he-may-see *the*-vigour of-an-old-man, skilled indeed
ειπεῖν, δε δεδαηκοτος πινειν, δε χαριεντως μανῆναι.
to-sing, and skilled to-drink, and gracefully be-mad.

ΝΔ'.—ΩΙΔΑΡΙΟΝ ΕΙΣ ΕΡΩΤΑΣ.
54.—A LITTLE-ODE ON LOVERS.

Ἱπποι μεν εχουσι χαραγμα πυρος εν ισχιοις·
Horses indeed have a-print of-fire on *their*-haunches:
και τις εγνωρισε* Παρθιους ανδρας τιᾶραις.
and any-one knows Parthian men by-*their*-turbans.
Δε εγω επισταμαι τους-ερῶντας ευθυς ἰδων.
And I know lovers immediately on-seeing *them*.

---

* εγνωρισε — The Greek *aorist* tenses, which usually designate an action *indefinitely past*, are sometimes used in general propositions, to express an action simply *indefinite* in time, according to the name αοριστος, *undefined*

Digitized by Google

Γαρ εχουσι τι λεπτον χαραγμα* ψυχῆς
For they-have a-certain delicate impress of-*the*-soul
εσω.†
within.

---

* Probably written in their *eyes*, " the windows of the soul :"— windows of all kinds being notorious tell-tales of the loves of the *Inner* soul, particularly when the impression is made with a *brilliant* of the first water.

† Here concludes the original collection of the Odes of Anacreon; though some fragments, of different degrees of authority, have been discovered and appended by later Editors. Even this last Ode has been by some calumniated as spurious; but the principal argument, founded on the Parthians not being known so early as a nation, is confuted by Herodotus.

We can only say, in the words of Dr. Bentley, — Multa quidem in aliis Anacreontis locis emendatione indigent: non pauca etiam sunt spuria, quæ à genuinis dignoscere paucorum erit hominum.

Digitized by Google

Digitized by Google

ΑΝΑΚΡΕΟΝΤΟΣ

ΛΥΡΙΚΑ.

Α'.

ΕΙΣ ΛΥΡΑΝ.

ΘΕΛΩ λεγειν Ατρειδας,
Θελω δε Καδμον ᾳδειν·
Ἡ* βαρβιτος δε χορδαῖς
Ερωτα μοῦνον ηχεῖ.
Ημειψα νεῦρα πρωην,
Και την λυρην ἁπᾶσαν,
Καγω μεν ᾕδον ἆθλους
Ἡρακλεους, λυρη δε
Ερωτας αντεφωνει.
Χαιροιτε λοιπον ἡμῖν,
Ἥρωες· ἡ λυρη γαρ
Μονους Ερωτας ᾄδει.

---

* *Brunck* here gives ἀ for the feminine article; but the substitution of this vowel is contrary to the *Ionic* literation,—even in this Ode.

Digitized by Google

Β'.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Φυσις κερᾶτα ταυροις,
Ὁπλας δ' εδωκεν ἱπποις,
Ποδωκιην λαγωοῖς,
Λεουσι χασμ' οδοντων,
Τοῖς ιχθυσιν το νηκτον,
Τοῖς ορνεοις πετασθαι,
Τοῖς ανδρασι φρονημα.
Γυναιξιν ουκ ετ' εἶχεν.
Τι οὖν διδωσι; καλλος,
Αντ' ασπιδων ἁπᾶσῶν,
Αντ' εγχεων ἁπαντων·
Νικᾷ δε και σιοηρυν,
Και πῦρ, καλη τις οὖσα.

Γ'.

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτιοις ποθ' ὡραις,
Στρεφεται ὁτ' Αρκτος ηδη
Κατα χεῖρα την Βοωτου,
Μεροπων δε φῦλα παντα
Κεαται κοπῳ δαμεντα·
Τοτ' Ερως επισταθεις μευ
Θυρεων εκοπτ' οχῆας.

Digitized by Google

Τις, εφην, θυρας αρασσει;
Κατα μεῦ σχισεις ονειρους.
Ὁ δ' Ερως, ανοιγε, φησι,
Βρεφος ειμι, μη φοβησαι,
Βρεχομαι δε, κασελησον
Κατα νυκτα πεπλανημαι.
Ελεησα ταῦτ' ακουσας,
Ανα δ' ευθυ λυχνον ἁψας
Ανεῳξα, και βρεφος μεν
Εσορῶ, φεροντα τοξον
Πτερυγας τε και φαρετρην.
Παρα δ' ιστιην καθιξας,
Παλαμαισι χεῖρας αυτοῦ
Ανεθαλπον, εκ δε χαιτης
Απεθλῖβον ὑγρον ὑδωρ.
Ὁ δ', επει κρυος μεθῆκε,
Φερε, φησι, πειρασωμεν
Τοδε τοξον, ες τι μοι νῦν
Βλαβεται βραχεῖσα νευρη·
Τανυει δε, και με τυπτει
Μεσον ἧπαρ, ὡσπερ οἶστρος·
Ανα δ' ἁλλεται καχαζων,
Ξενε δ', εἶπε, συγχαρηθι·
Κερας αβλαβες μεν εστι,
Συ δε καρδιην πονησεις·

Digitized by Google

Δ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

Επι μυρσιναις τερειναις,
Επι λωτιναις δε ποιαις
Στορεσας, θελω προπινειν.
Ο δ' Ερως, χιτωνα δησας
Υπερ αυχενος παπυρῳ,
Μεθυ μοι διακονειτω.
Τροχος ἁρματος γαρ οἷα,
Βιοτος τρεχει κυλισθεις·
Ολιγη δε κεισομεσθα
Κονις, οστεων λυθεντων.
Τι σε δεῖ λιθον μυριζειν;
Τι δε γῇ χεειν ματαια;
Εμε μᾶλλον, ὡς ετι ζῶ,
Μυρισον, ῥοδοις δε κρᾶτα
Πυκασον, καλει δ' ἑταιρην.
Πριν, Ερως, εκεῖ μ' απελθεῖν*
Υπο νερτερων χορειας,
Σκεδασαι θελω μεριμνας.

---

* The above is the *old* reading, and seems to require no alteration. *Brunck*, however, in his Analecta, adopts *Baxter's* variation—Πριν, ερῶ σε, δεῖ μ' απελθεῖν.

Digitized by Google

Ε.

ΕΙΣ ΡΟΔΟΝ.

Το ῥόδον το τῶν Ερωτων
Μιξωμεν Διονῦσῳ.
Το ῥόδον το καλλιφυλλον
Κροταφοισιν ἁρμοσαντες,
Πινωμεν, ἁβρα γελῶντες.
Το ῥόδον φεοιστον ανθος,
Ῥοδον Εαρος μελημα·
Ῥοδα και Θεοῖσι τερπνα,
Ροδα, τοῖς ὁ παῖς Κυθηρης
Στεφεται καλους ιουλους,
Χαριτεσσι συγχορευων.
Στεφωμεθ' οῦν. Λυριζων
Παρα σοῖς, Διονῦσε, σηκοῖς,
Μετα κουρης βαθυκολπου,
Ῥοδινοισι στεφανισκοις
Πεπυκασμενος, χορευσω.

ς'.

ΚΩΜΟΣ.

Στεφανους μεν κροταφοισι
Ροδινους συναρμοσαντες,
Μεθυομεν ἁβρα γελῶντες.

Digitized by Google

Ὑπο βαρβιτῳ δε κοὐρα
Κατακισσοισι βρεμοντας
Πλοκαμοις φερουσα θυρσους,
Χλιδανοσφυρος χορευει.
Ἀβροχαιτας δ' ἁμα κοῦρος,
Στοματων ἀδυ πνεοντων,
Κατα πηκτιδων αθῦρων
Προχεει λιγειαν ομφαν.
Ὁ δ' Ερως ὁ χρυσοχαιτας,
Μετα τοῦ καλοῦ Λυαιου,
Μετα τῆς καλῆς Κυθηρης,
Τον επηρατον γεραιοῖς
Κῶμον μετεισι χαιρων.

Ζ'.

ΕΙΣ ΕΡΩΤΑ.

Ὑακινθινῃ με ῥαβδῳ
Χαλεπῶς Ερως ῥαπιζων,*
Εκελευσε συντροχαζειν.
Δια δ' οξεων μ' αναυρων,
Ξυλοχων τε και φαραγγων
Τροχαοντα τεῖρεν ἱδρως.

---

* *Leipsic* Edit. 1819, as above.—*Brunck's* Analecta, βαδιζων.

Digitized by Google

Κραδιη δε ῥινος αχρις
Ανεβαινε, καν απεσβην.
Ὁ δ' Ερως, μετωπα σείων
Ἀπαλοίς πτεροῖσιν, εἶπε,
Συ γαρ ου δυνῃ φιλῆσαι.

Η'.

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ερασμιη πελεια,
Ποθεν, ποθεν πετασσαι;
Ποθεν μυρων τοσουτων,
Επ' ηερος θεουσα,
Πνεεις τε και ψεκαζεις;
Τις εῖ; τι σοι μελει δε;*
Ανακρεων μ' επεμψε
Προς παῖδα, προς Βαθυλλον,
Τον αρτι τῶν ἁπαντων
Κρατοῦντα και τυραννον.
Πεπρᾶκε μ' ἡ Κυθηρη,
Λαβοῦσα μικρον ὑμνον.
Εγω δ' Ανακρεοντι
Διακονῶ τοσαῦτα·

---

* *Leipsic* Edit. as above. — *Brunck's* Anal. Τις εσσι; μοι μελει δε. The *order* of these Odes is varied in a few instances by Brunck. This one, for example, comes after the next in his edition.

Digitized by Google

Και νῦν, ὁρᾷς, ἐκεινου
Επιστολας κομιζω.
Και φησιν ευθεως με
Ελευθερην ποιησειν.
Εγω δε, κην αφῇ με,
Δουλη μενῶ παρ' αυτῷ.
Τι γαρ με δεῖ πετασθαι
Ορη τε και κατ' αγρους,
Και δενδρεσιν καθιζειν,
Φαγοῦσαν αγριον τι;
Τανῦν εδω μεν αρτον,
Αφαρπασᾶσα χειρῶν
Ανακρεοντος αυτοῦ.
Πιεῖν δε μοι διδωσι
Τον οἶνον ὁν προπῖνει.
Πιοῦσα δ' αν χορευω,
Και δεσποτην εμοῖσι
Πτεροῖσι συσκιαζω·*
Κοιμωμενη δ' επ' αυτῷ
Τῷ βαρβιτῳ καθευδω.
Εχεις ἁπαντ'· απελθε·
Λαλιστεραν μ' εθηκας,
Ανθρωπε, και κορωνης.

---

* *Leipsic* Edit. as above, from the *Vatican* MS. *συσκιαζων.*—*Brunck*, *χορευσω—συγκαλυψω.*

Digitized by Google

Θ'.

ΕΙΣ ΤΟΝ ΈΑΥΤΟΥ ΟΝΕΙΡΟΝ.

Δια νυκτος εγκαθευδων
Ἁλιπορφυροις ταπησι,
Γεγαννυμενος Λυαιῳ,
Εδοκουν ακροισι ταρσοῖς
Δρομον ωκυν εκτανῦειν,
Μετα παρθενων αθῦρων.
Επεκερτομουν δε παῖδες
Ἀπαλωτεροι Λυαιου,
Δακεθῦμα μοι λεγοντες
Δια τας καλας εκεινας.
Εθελοντα δε φιλῆσαι
Φυγον εξ ὑπνου με παντες.
Μεμονωμενος δ' ὁ τλημων
Παλιν ηθελον καθευδειν.

Γ'

ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

Ερωτα κηρινον τις
Νεηνιης επωλει.
Εγω δε οἱ παραστας,
Ποσου θελεις, ξφην, σοι
Το τευχθεν εκπριωμαι;

Digitized by Google

Ὁ δ' εἶπε, Δωριαζων,
Λαβ' αυτον ὑπποσου λῆς·
Ὁπως δ' αν εκμαθῃς πᾶν,
Ουκ ειμι κηροτεχνης·
Αλλ' ου θελω συνοικῆν
Ερωτι παντορεκτᾳ.
Δοὺς οὖν, δος αυτον ἡμῖν
Δραχμῆς, καλον συνεννον.
Ερως, συ δ' ευθεως με
Πυρωσον· ει δε μη, συ
Κατα φλογος τακησῃ.

ΙΑ.

ΕΙΣ ΕΑΥΤΟΝ.

Λεγουσιν αἱ γυναῖκες,
Ανακρεων, γερων εἶ·
Λαβων εσοπτρον αθρει
Κυμας μεν ουκετ' ουσας,
Ψιλον δε σευ μετωπον.
Εγω δε τας κομας μεν
Ειτ' εισιν, ειτ' απῆλθον,
Ουκ οἶδα· τοῦτο δ' οἶδα,
Ὡς τῷ γεροντι μᾶλλον
Πρεπει τα τερπνα παιζειν,
Ὁσῳ πελας τα Μοιρης.

Digitized by Google

ΙΒ'.

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τι σοι θελεις ποιησω,
Τι σοι, λαλη χελῑδων;
Τα ταρσα σευ τα κοῦφα
Θελεις λαβων ψαλιξω;
Η μᾶλλον ενδοθεν σευ
Την γλῶσσαν, ὡς ὁ Τηρευς
Εκεῖνος, εκθεριξω;
Τι μευ καλῶν ονειρων
Ὑπορθριαισι φωναῖς
Αφηρπασας Βαθυλλον;

ΙΓ'.

ΕΙΣ ΕΡΩΤΑ.

Θελω, θελω φιλῆσαι·
Επειθ' Ερως φιλεῖν με·
Εγω δ', εχων νοημα·
Αβουλον, ουκ επεισθην.
Ὁ δ', ευθυ τοξον αρας
Και χρυσεην φαρετρην,
Μαχῃ με προυκαλεῖτο.
Καγω λαβων επ' ωμων

Digitized by Google

Θωρηχ', ὁπως Αχιλλευς,
Και δοῦρα και βοειην,
Εμαρναμην Ερωτι.
Εβαλλ', εγω δ' εφευγον·
Ὡς δ' ουκ ετ' εἶχ' οϊστους,
Ησχαλλεν· εἶθ' ἑαυτον
Αφῆκεν εις βελεμνον.
Μεσος δε καρδιης μευ
Εδῦνε, και μ' ελῦσε.
Ματην δ' εχω βοειην·
Τι γαρ βαλωμεθ' εξω,
Μαχης εσω μ' εχουσης;

ΙΔ'.

ΕΙΣ ΤΟ ΑΦΘΟΝΩΣ ΖΗΝ.

Ου μοι μελει Γυγᾶο,
Τοῦ Σαρδιων ανακτος·
Ουθ' αἱρεει με χρυσος,
Ουδε φθονῶ τυραννοις.
Εμοι μελει μυροισι
Καταβρεχειν ὑπηνην·
Εμοι μελει ῥοδοισι
Καταστεφειν καρηνα.
Το σημερον μελει μοι·
Το δ' αυριον τις οἶδεν;

Digitized by Google

Ὡς οὖν ετ' ευδι' εστι,
Και πῖνε, και κυβευε,
Και σπενδε τῷ Λυαιῳ·
Μη νοῦσος, ην τις ελθῃ,
Λεγῃ, Μη δεῖ σε πινειν.

ΙΕ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

Οἱ μεν καλην Κυβηβην
Τον ἡμιθηλυν Αττιν
Εν ουρεσιν βοῶντα
Λεγουσιν εκμανῆναι.
Οἱ δε Κλαρου παρ' οχθαις
Δαφνηφοροιο Φοιβου,
Λαλον πιοντες ὑδωρ,
Μεμηνοτες βοῶσιν.
Εγω δε τοῦ Λυαιου
Και τοῦ μυρου κορεσθεις,
Και τῆς εμῆς ἑταιρης.
Θελω, θελω μανῆναι.

Digitized by Google

Ιϛ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

Συ μεν λεγεις τα Θηβης
Ὁ δ' αὖ Φρυγῶν αὗτας·
Εγω δ' εμας ἁλωσεις.
Ουχ ἱππος ωλεσεν με,
Ου πεζος, ουχι νῆες·
Στρατος δε καινος αλλυς,
Απ' ομματων Θαλων με.

ΙΖ'.

ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ

Τον αργυρον τορευσας,
Ηφαιστε, μοι ποιησον,
Πανοπλιαν μεν ουχι·
Τι γαρ μαχαισι κἀμοι;
Ποτηριον δε κοῖλον·
Ὅσον δυνῃ, βαθυνον.
Ποιει δε μοι κατ' αυτο
Μητ' αστρα, μηθ' ἁμαξας,
Μη στυγνον Ωριωνα·
Τι Πλειαδων μελει μοι,
Τι δ' αστερος Βοωτεω;
Ποιησον αμπελους μοι

Digitized by Google

Και βοτρυας κατ' αυτο,
Και Μαιναδας τρυγωδεις·*
Ποιει δε ληνον οινου,*
Και χρυσεους πατοῦντας
Ὁμοῦ καλῷ Λυαιῳ
Ερωτα και Βαθυλλον.

ΙΗ'.

ΕΙΣ ΤΟ ΛΥΤΟ.

Καλλιτεχνα, μοι τορευσον
Εαρος κυπελλον ἡδυ·
Ταπρῶτα τερπνα ἡμῖν
Ῥοδα φερουσαν Ὥρην.
Τον αργυρον δ' ἁπλωσας,
Τερπνον ποιει ποτον μοι.†
Τῶν τελετῶν παραινῶ
Μη μοι ξενον τορευσῃς·
Μη φευκτον ἱστορημα.
Μᾶλλον ποιει Διος τε
Γονην Εὔιον ἡμῖν,

---

* These two lines, omitted by *Brunck*, are taken, with little variation, from the *Vatican* MS.

† *H. Steph.* as above.—*Brunck* in this order, Ποτον ποιει μοι τερπνον.

Digitized by Google

Μυστιν ποθων τε Κυπριν,*
Ὑμεναιους συγκροτοῦσαν.
Ανοπλους χαρασσ' Ερωτας,
Και Χαριτας γελωσας,
Ὑπ' αμπελον ευπεταλον,
Ευβοτρυον, κομῶσαν.
Συναπτε κουρους ευπρεπεῖς,
Αν μη Φοῖβος αθῦρῃ.

ΙΘ'.

ΕΙΣ ΤΟ ΔΕΙΝ ΠΙΝΕΙΝ.

Ἡ γῆ μελαινα πινει,
Πινει δε δενδρε' αυτην·
Πινει θαλασσ' αναυρους,
Ὁ δ' ἡλιος θαλασσαν,
Τον δ' ἡλιον σεληνη.
Τι μοι μαχεσθ', ἑταῖροι,
Καὐτῷ θελοντι πινειν;

---

* The above text most nearly resembles that of the *Leipsic* Edition, except this line in the latter—

Μυστιν τε τῶν ποθων Κυπριν.

The variation is considerable from *Brunck's Analecta*—

Μνηστυν θ', ἁμα τε Κυπριν
Ὑμεναιοις κροτοῦσαν,
Και Ερωτας ανοπλους.

Digitized by Google

Κ'.

ΕΙΣ ΚΟΡΗΝ.

Ἡ Ταντάλου ποτ' εστη
Λιθος Φρυγῶν εν οχθαις,
Και παῖς ποτ' οονις επτη
Πανδιονος, χελῖδων.
Εγω δ' εσοπτρον ειην,
Ὁπως αει βλεπῃς με·
Εγω χιτων γενοιμην,
Ὁπως αει φορῇς με·
Ὑδωρ θελω γενεσθαι,
Ὁπως σε χρῶτα λουσω·
Μυρον, γυναι, γενοιμην,
Ὁπως εγω σ' αλειψω.
Και ταινιη δε μαστῶν,
Και μαργαρον τραχηλῳ,
Και σανδαλον γενοιμην,
Μονον ποσιν πατεῖν με.

ΚΑ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

Δοτε μοι, δοτ', ὦ γυναῖκες,
Βρομιου πιεῖν αμυστι·

Digitized by Google

Ὑπο καυματος γαρ ηδη
Προποθεις αναστεναζω.
Δοτε δ' ανθεων εκεινου·
Στεφανους δ' οἱους πυκαζω
Τα μετωπα μου 'πικαιει.*
Το δε καῦμα τῶν Ερωτων,
Κραδιη, τινι σκεπαζω ;

ΚΒ'.

ΕΙΣ ΒΑΘΥΛΛΟΝ.

Παρα την σκιην, Βαθυλλε,
Καθισον· καλον το δενδρον,
Ἁπαλας δ' εσεισε† χαιτας
Μαλακωτατῳ κλαδισκῳ.
Παρα δ' αυτῷ ερεθιζει
Πηγη ῥεουσα πειθοῦς.
Τις αν οὖν ὁρῶν παρελθοι
Καταγωγιον τοιοῦτο ;

---

* *Barnes*, as above.—*Brunck*, Στεφανους δ', οἱοις πυκαζω Τα μετωπα μου, 'πικαιω, according to the *Vatican* MS.

† *Leipsic* Edit. as above.—*Brunck*, Ἁπαλας σειει δε χαιτας.

Digitized by Google

ΚΓ'.

ΕΙΣ ΧΡΥΣΟΝ

Ὁ πλοῦτος ει γε χρυσοῦ
Το ζῆν παρῆγε θνητοῖς,
Εκαρτερουν φυλαττων,
Ἵν', αν θανεῖν επελθῃ,
Λαβῃ τι, και παρελθῃ.
Ει δ' ουδε το πριασθαι
Το ζῆν ενεστι θνητοῖς,
Τι και ματην στεναζω;
Τι και γοους προπεμπω;
Θανεῖν γαρ ει πεπρωται,
Τι χρυσος ωφελεῖ με;
Εμοι γενοιτο πινειν,
Πιοντι δ' οἶνον ἡδυν,
Εμοῖς φιλοις συνεῖναι.

* * * * *

ΚΔ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐπειδη βροτος ετεχθην
Βιοτου τριβον ὁδευειν,

Digitized by Google

Χρονον ὀν παρῆλθον εγνων,*
Ὀν δ' εχω δραμεῖν ουκ οἶδα.
Μεθετε με, φροντιδες·†
Μηδεν μοι και ὑμῖν εστω.
Πριν' εμε φθασῃ το τελος
Παιξω, γελασω, χορευσω
Μετα τοῦ καλοῦ Λυαιου.

ΚΕ'.

ΕΙΣ ΕΑΥΤΟΝ

Ὅταν πινω τον οἶνον,
Εὐδουσιν αἱ μεριμναι.
Τι μοι πονων, τι γοων μοι,
Τι μοι μελει μεριμνῶν;
Θανεῖν με δεῖ, κἀν μη θελω.
Τι δε τον βιον πλανῶμαι;
Πιωμεν οὖν τον οἶνον,
Τον τοῦ καλοῦ Λυαιου.
Συν τῷ δε πινειν ἡμᾶς
Εὐδουσιν αἱ μεριμναι.

---

* *Brunck* places the same words in the following order, *χρονον εγνων ὀν παρῆλθον.*

† The *metres* of this Ode can scarcely be reconciled on good authority.

Digitized by Google

Κϛ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ὅταν ὁ Βακχος εισελθῃ,
Εὐδουσιν αἱ μεριμναι.
Δοκῶν δ' εχειν τα Κροισου,
Θελω καλῶς αειδειν.
Κισσοστεφης δε κεῖμαι,
Πατῶ δ' ἁπαντα θυμῷ.
Ὀπλιζ', εγω δε πινω.
Φερε μοι κυπελλον, ὦ παῖ·
Μεθυοντα γαρ με κεῖσθαι
Πολυ κρεῖσσον, η θανοντα.

ΚΖ'.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Τοῦ Διος ὁ παῖς, ὁ Βακχος.
Ὁ λυσιφρων, Δυαῖος,
Ὅταν φρενας τας εμας
Εισελθῃ μεθυδωτας,*

---

* *Baxter's* reading is here adopted.—*Brunck* retains the old word μεθυδοτας.

Digitized by Google

Διδασκει με χορευειν.
Εχω δε και τι τερπνον,
Ὁ τᾶς μεθας εραστας·
Μετα κροτων, μετ' ᾠδᾶς,
Τερπει με κ' Αφροδῖτα,
Και παλιν θελω χορευειν.

ΚΗ'.

ΕΙΣ ΤΗΝ 'ΕΑΥΤΟΥ ΕΤΑΙΡΑΝ.

Αγε, ζωγραφων αριστε,
Γραφε, ζωγραφων αριστε,
Ῥοδινης κοιρανε τεχνης,
Απεοῦσαν, ὡς αν ειπω,
Γραφε την εμην ἑταιρην.
Γραφε μοι τριχας το πρῶτον
Ἁπαλας τε και μελαινας·
Ὁ δε κηρος αν δυνηται,
Γραφε και μυρου πνεουσας.
Γραφε δ' εξ ὁλης παρειῆς,
Ὑπο πορφυραισι χαιταις
Ελεφαντινον μετωπον.
Το μεσοφρυον δε μη μοι
Διακοπτε, μητε μισγε.
Εχετω δ', ὁπως εκεινη,
Το λεληθοτως συνοφρυ,

Digitized by Google

Βλεφαρων ιτυν κελαινην.
Το δε βλεμμα νῦν αληθῶς
Απο τοῦ πυρος ποιησον,
Ἁμα γλαυκον, ὡς Ἀθηνης,
Ἁμα δ' ὑγρον, ὡς Κυθηρης.
Γραφε ῥῖνα και παρειας,
Ῥοδα τῷ γαλακτι μιξας.
Γραφε χεῖλος, οἷα Πειθοῦς,
Προκαλουμενον φιλημα.
Τρυφεροῦ δ' εσω γενειου,
Περι Λυγδινῳ τραχηλῳ,
Χαριτες πετοιντο πᾶσαι.
Στολισον το λοιπον αυτην
Ὑποπορφυροισι πεπλοις·
Διαφαινετω δε σαρκῶν
Ολιγον, το σῶμ' ελεγχον.
Απεχει· βλεπω γαρ αυτην.
Ταχα, κηρε, και λαλησεις.

ΚΘ'.

ΕΙΣ ΕΡΩΤΑ.

Αἱ Μοῦσαι τον Ερωτα
Δησᾶσαι στεφανοισι,
Τῷ Καλλει παρεδωκαν.
Και νῦν ἡ Κυθερεια

Ζητεῖ, λυτρα φερουσα,
Δυσασθαι τον Ερωτα.
Κᾀν λυσῃ δε τις αυτον,
Ουκ εξεισι, μενεῖ δε·
Δουλευειν δεδιδακται.

Λ'.

ΕΙΣ ΈΑΥΤΟΝ.

Αφες με, τους θεους, σοι*
Πιεῖν, πιεῖν αμυστι.
Θελω, θελω μανῆναι.
Εμαινετ' Αλκμαιων τε,
Χ' ὁ λευκοπους Ορεστης,
Τας μητερας κτανοντες.
Εγω δε, μηδενα κτας,
Πιων δ' ερυθρον οἶνον,
Θελω, θελω μανῆναι.
Εμαινεθ' Ἡρακλῆς πριν,
Δεινην κλονῶν φαρετρην,
Και τοξον Ιφιτειον·
Εμαινετο πριν Αιας

---

* This is nearer to Barnes' reading than to Brunck's—the latter giving Αφες με τοῖς θεοῖσι.

Digitized by Google

Μετ' ασπίδος* κραδαινων
Την Ἑκτορος μαχαιραν·
Εγω δ' εχων κυπελλον,
Και στεμμα τοῦτο χαιταις,
Ου τοξον, ου μαχαιραν,
Θελω, ϑελω μανῆναι.

ΛΑ'.

ΕΙΣ ΤΟΥΣ ἙΑΥΤΟΥ ΕΡΩΤΑΣ.

Ει φυλλα παντα δενδρων
Επιστασαι κατειπεῖν,
Ει ημαθῶδες εὑρεῖν
Το τῆς ὁλης ϑαλασσης,
Σε τῶν εμῶν Ερωτων
Μονον ποιῶ λογιστην.
Πρῶτον μεν εξ Αϑηνῶν
Ερωτας εικοσιν ϑες,
Και πεντεκαιδεκ' αλλους.
Επειτα δ' εκ Κορινϑου
Θες ὁρμαϑους Ερωτων·
Αχαϊης γαρ εστιν.
Ὅπου καλαι γυναῖκες.

---

* *Brunck* gives the noun in the *plural* number—*ασπιδων*.

Digitized by Google

Τιθει δε Λεσβιους μοι,
Και μεχρι τῶν Ιωνων,
Και Καριης, Ῥοδου τε,
Δισχιλιους Ερωτας.
Τι φης;—αει κηρῷ θες·
Ουπω Συρους ελεξα,
Ουπω Ποθους Κανωβου,
Ου τῆς ἁπαντ' εχουσης
Κρητης, ὁπου πολεσσιν
Ερως επεργιαζει.
Τι; σοι θελεις αριθμῶ
Τους εκτος αὖ Γαδειρων,
Τους Βακτριων τε κ' Ινδῶν,
Ψυχῆς εμῆς Ερωτας;

ΛΒ'.

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Συ μεν, φιλη χελῖδων,
Ετησιη μολοῦσα,
Θερει πλεκεις καλῖην,
Χειμῶνι δ' εἰς αφαντος
Η Νεῖλον, η 'πι Μεμφιν.
Ερως δ' αει πλεκει μευ
Εν καρδιῃ καλῖην·

Digitized by Google

Ποθος δ' ὁ μεν πτερούται,
Ο δ' ωον εστιν ακμην,
Ὁ δ' ἡμιλεπτος ηδη.
Βοη δε γιγνετ' αιει
Κεχηνοτων νεοττῶν.
Ερωτιδεῖς δε μικρους
Οἱ μειζονες τρεφουσιν·
Οἱ δε τραφεντες ευθυς
Παλιν κυουσιν αλλους.
Τι μῆχος οὖν γενηται;
Ου γαρ σθενω τοσουτους
Ερωτας εκβοῆσαι.

ΛΓ'.

ΕΙΣ ΚΟΡΗΝ.

Μη με φυγῃς ὁρῶσα
Την πολιαν εθειραν·
Μηδ', ὁτι σοι παρεστιν
Ανθος ακμαῖον ὡρας,
Τἀμα φιλτρα διωξῃς.
Ὁρα, κἀν στεφανοισιν
Ὁπως πρεπει τα λευκα
Ῥοδοις κρινα πλακεντα.

Digitized by Google

ΛΔ'.

ΕΙΣ ΤΗΝ ΕΥΡΩΠΗΝ.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
Ζευς μοι δοκεῖ τις εἶναι·
Φερει γαρ αμφι νωτοις
Σιδωνιην γυναῖκα.
Περᾳ δε ποντον ευρυν,
Τεμνει δε κῦμα χηλαῖς·
Ουκ αν δε ταῦρος αλλος
Εξ αγελης ελασθεις
Επλευσε την θαλασσαν,
Ει μη μονος γ' εκεῖνος.

ΛΕ'.

ΕΙΣ ΤΟ ΑΝΕΙΜΕΝΩΣ ΖΗΝ.

Τι με τους νομους διδασκεις,
Και ῥητορων αναγκας;
Τι δε μοι λογων τοσουτων,
Τῶν μηδεν ωφελουντων;
Μᾶλλον διδασκε πινειν
Απαλον πομα Λυαιου.
Μᾶλλον διδασκε παιζειν
Μετα χρυσῆς Αφροδιτης.

Digitized by Google

Πολιαι στεφουσι καραν.
Δος ὕδωρ, βαλ' οινον, ὦ παῖ,
Την ψυχην μου καρωσον.
Βραχυ μη ζῶντα καλυπτεις.
Ὁ θανων ουκ επιθυμεῖ.

Λϛ'.

ΕΙΣ ΤΟ ΕΑΡ.

Ιδε πῶς, Εαρος φανεντος,
Χαριτες ῥοδα βρυουσιν.
Ιδε πῶς κῦμα θαλασσης*
Ἀπαλυνεται γαληνῃ.*
Ιδε πῶς νῆσσα κολυμβᾷ·
Ιδε πῶς γερανος ὁδευει.
Αφελῶς δ' ελαμψε Τιταν·
Νεφελῶν σκιαι δονοῦνται·
Τα βροτῶν δ' ελαμψεν εργα.
Καρποῖσι γαῖα προκυπτει·†
Καρπος ελαιας προκυπτει.
Βρομιου στεφεται το νᾶμα.
Κατα φυλλον, κατα κλῶνα,
Καθελων ηνθισε καρπος.

---

* These two lines are omitted in *Brunck's Analecta*, but are found in most other editions of Anacreon.

† Brunck varies this reading from the more authentic line above, but without satisfactory authority; giving in his *Analecta*—

Καρπος ιτεας προκυπτει.

Digitized by Google

ΛΖ'.

ΕΙΣ ΈΑΥΤΟΝ.

Εγω γερων μεν ειμι,
Νεων πλεον δε πινω·
Κἀν δεηση με χορευειν,
Σκῆπτρον εχω τον ασκον·
Ὁ ναρθηξ δ' ουδεν εστιν.
Ὁ μεν θελων μαχεσθαι,
Παρεστω και μαχεσθω.
Εμοι κυπελλον, ὦ παῖ,
Μελιχρον οἶνον ἡδυν
Εγκερασας, φορησον·
Εγω γερων μεν ειμι,
Σειληνον εν μεσοισι
Μιμουμενος χορευσω.

ΛΗ'.

ΕΙΣ ΕΡΩΤΑ.

Ἔρως ποτ' εν ῥοδοισι
Κοιμωμενην μελιτταν
Ουκ εἶδεν, αλλ' ετρωθη.
Τον δακτυλον δε δηχθεις*
Τᾶς χειρος, ωλολυξε.

---

* *Barnes* as above. *Brunck's Analecta*—Τον δακτυλον παραχθεις

Digitized by Google

Δραμων δε και πετασθεις
Προς την καλην Κυθηρην,
Ολωλα, μᾶτερ, εἶπεν,
Ολωλα, κἀποθνησκω.
Οφις μ' ετυψε μικρος
Πτερωτος, ὁν καλοῦσι
Μελιτταν οἱ γεωργοι.
Ἡ δ' εἶπεν, Ει το κεντρον
Πονεῖ το τᾶς μελιττας,
Ποσον, δοκεῖς, πονοῦσιν,
Ερως, ὁσους συ βαλλεις;

ΛΘ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ὁτ' εγω πιω τον οἶνον,
Τοτε μευ ῆτορ ιανθεν
Μουσας αρχεται λιγαινειν.*
Ὁτ' εγω πιω τον οἶνον,
Απορίπτονται μεριμναι,
Πολυφροντιδες τε βουλαι,
Ες ἁλικυπους αητας
Οτ' εγω πιω τον οἶνον
Λυσιπημων τοτε Βακχος
Πολυανθεσιν μ' εν αυραις

Brunck, who retains the old order of words—λιγαινειν αρχεται μουσας,—does not appear to have observed the obvious transposition adopted by *Barnes*.

Digitized by Google

Δονεει, μεθῃ γανωσας
Ὅτ' εγω πιω τον οἶνον,
Στεφανους ανθεσι πλεξας,
Επιθεις δε τῷ καρηνῳ,
Βιοτου μελπω γαληνην.
Ὅτ' εγω πιω τον οἶνον,
Μυρῳ ευωδεϊ τεγξας
Δεμας, αγκαλαις δε κουρην
Κατεχων, Κυπριν αειδω
Ὅτ' εγω πιω τον οἶνον,
Ὑπο κυρτοῖσι κυπελλοις
Τον εμον νοον ἁπλωσας,
Θιασῳ τερπομαι κουρων.
Ὅτ' εγω πιω τον οἶνον,
Τοδε μοι μονον το κερδος,
Τοδ' εγω λαβων αποισω·
Το θανεῖν γαρ μετα παντα.

Μ'.

ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

Ιλαροι πιωμεν οἶνον,
Αναμελψομεν δε Βακχον,
Τον εφευρεταν χορειας
Τον ὁλας ποθοῦντα μολπας,
Τον ὁμοτροπον Ερωτι,
Τον ερωμενον Κυθηρης·

Digitized by Google

Δι' ὁν ἡ Μεθη λοχευθη,
Δι' ὁν ἡ Χαρις δ' ετεχθη,
Δι' ὁν αμπανεται Λυπα,
Δι' ὁν ενναζετ' Ανῖα.
Το μεν οὖν πομα κερασθεν
Ἀπαλοι φερουσι παῖδες·
Το δ' αχος πεφευγε μιχθεν
Ανεμοτροπῳ θυελλῃ.
Το μεν οὖν πῶμα λαβωμεν,
Τας δε φροντιδας μεθῶμεν·
Τι γαρ εστι σοι το κερδος
Οδυρωμενῳ μεριμναις;
Ποθεν οιδαμεν το μελλον;
Ὁ βιος βροτοῖς αδηλος
Μεθυων θελω χορευειν,
Μεμυρισμενος δε παιζειν,
Μετα και καλῶν γυναικῶν.
Μελετω δε τοῖς θελουσιν
Ὁσον εστιν εν μεριμναις.

ΜΑ'.

ΕΙΣ ἙΑΥΤΟΝ.

Ποθεω μεν Διονῦσου
Φιλοπαιγμονος χορειας·
Φιλεω δ', ὁταν εφηβου
Μετα συμποτου λυριζω.

Digitized by Google

Στεφανισκους δ' ὑακινθων
Κροταφοῖσιν αμφιπλεξας,
Μετα παρθενων αθῦρειν
Φιλεω μαλιστα παντων.
Φθονον ουκ οἶδ' εμον ἦτορ,
Φθονον ου δειδια δηκτην,*
Φιλολοιδοροιο γλωττης·
Φευγω βελεμνα κωφα.
Στυγεω μαχας παροινους
Πολυκωμους κατα δαῖτας,
Νεοθηλεσ' ἁμα κουραις,
Ὑπο βαρβιτῳ χορευων.
Βιον ἡσυχον φερωμεν.

ΜΒ'.

ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαριζομεν σε, τεττιξ,
Ὁτι δενδρεων επ' ακρων,
Ολιγην δροσον πεπωκως,
Βασιλευς ὁπως, αειδεις·
Σα γαρ εστι κεῖνα παντα,
Ὁποσα βλεπεις εν αγροῖς,
Χ' ὁποσα φερουσιν Ὧραι.

---

* *Barnes'* emendation is adopted above: *Brunck* retains the common reading—*φθονον ουκ οἶδα δαϊκτον*

Digitized by Google

Συ δε φιλιος γεωργῶν,
Απο μηδενος τι βλαπτων.
Συ δε τιμιος βροτοῖσι,
Θερεος γλυκυς προφητης,
Φιλεουσι μεν σε Μοῦσαι,
Φιλεει δε Φοῖβος αυτος,
Λιγυρην δ' εδωκεν οιμην.
Το δε γῆρας ου σε τειρει,
Σοφε, γηγενης, φιλυμνε,
Απαθης, αναιμ', ασαρκε·*
Σχεδον εἶ θεοῖς ὁμοιος.

ΜΓ'.

ΕΙΣ ΤΟ 'ΕΑΥΤΟΥ' ΟΝΕΙΡΟΝ.

Εδοκουν οναρ τροχαζειν,
Πτερυγας φερων επ' ωμων·
'Ο δ' Ερως εχων μολυβδον
Περι τοῖς καλοῖς ποδισκοις
Εδιωκε και κιχᾶνε.
Τι θελει οναρ τοδ' εἶναι;

---

* The reading of *Scaliger* is here admitted, in preference to *Brunck's*—αναιμοσαρκε.

Digitized by Google

Δοκεω δ' εγωγε πολλοῖς,
Εν Ερωσι με πλακεντα,
Διολισθανεῖν εν αλλοις,
Ἑνι τῷδε συνδεθῆναι.

ΜΔ'.

ΕΙΣ ΤΑ ΤΟΥ ΕΡΩΤΟΣ ΒΕΛΗ.

Ὁ ανηρ ὁ τῆς Κυθηρης,
Παρα Λημνιαις καμῖνοις,
Τα βελη τα τῶν Ερωτων
Εποιει λαβων σιδηρον·
Ακιδας δ' εβαπτε Κυπρις,
Μελι το γλυκυ λαβοῦσα·
Ὁ δ' Ερως χολην εμισγεν.
Ὁ δ' Αρης ποτ' εξ ἀυτῆς
Στιβαρον δορυ κραδαινων,
Βελος ηυτελιζ' Ερωτος.
Ὁ δ' Ερως, τοδ' εστιν, εἶπε,
Βαρυ· πειρασας νοησεις.
Ελαβεν βελεμνον Αρης·
Ὑπεμειδιᾶσε Κυπρις.
Ὁ δ' Αρης αναστεναξας,
Βαρυ, φησιν· ἄρον αυτο.
Ὁ δ' Ερως, εχ' αυτο, φησι.

Digitized by Google

ΜΕ'.

ΕΙΣ ΕΡΩΤΑ.

Χαλεπον το μη φιλῆσαι,
Χαλεπον δε και φιλῆσαι,
Χαλεπωτερον δε παντων
Αποτυγχανειν φιλοῦντα.
Γενος ουδεν εις Ερωτα·
Σοφιη, τροπος, πατεῖται·
Μονον αργυρον βλεπουσιν.
Απολοιτο πρῶτος αυτος
Ὁ τον αργυρον φιλησας.
Δια τοῦτον ουκ αδελφος,
Δια τοῦτον ου τοκῆες,
Πολεμοι, φονοι δι' αυτον.
Το δε χεῖρον, ολλυμεσθα
Δια τοῦτον οἱ φιλοῦντες.

Μϛ'.

ΕΙΣ ΓΕΡΑΙΟΝ.

Φιλῶ γεροντα τερπνον
Φιλῶ νεον χορευταν.
Γερων δ' ὁταν χορευῃ,
Τριχας γερων μεν εστι,
Τας δε φρενας νεαζει.

Digitized by Google

ΜΖ'.

ΑΛΛΟ ΩΙΔΑΡΙΟΝ.

Δοτε μοι λυρην Ὁμηρου
Φωνης ανευθε χορδῆς.
Φερε μοι κυπελλα θεσμῶν,
Φερε μοι, νομους κερασσω,
Μεθυων ὁπως χυρευσω,
Ὑπο σωφρονος δε λυσσης
Μετα βαρβιτων αειδων
Το παροινιον βοησω.

ΜΗ'.

ΕΙΣ ΖΩΓΡΑΦΟΝ.

Αγε, ζωγραφων αριστε,
Λυρικῆς ακουε Μουσης,
Φιλοπαιγμονος τε Βακχου,
Ἑτεροπνοους εναυλους·
Γραφε τας πολεις το-πρῶτον
Ἱλαρας τε και γελωσας,
Ὁ δε κηρος αν δυναιτο,
Γραφε και νομους φιλουντων.*

---

* The above reading is well authorized, and better preserves the point of the allusion: *Brunck*, however, adopts *Baxter's* alteration to φιλουσας (sc. πολεις)

Digitized by Google

ΜΘ'.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ὁ τον εν πονοις* ατειρῆ
Νεον, εν ποθοις αταρβῆ,
Καλον εν ποτοις χορευτην
Τελεων θεος κατῆλθεν,
Ἀπαλὸν βροτοῖσι φιλτρον,
Ποτον αστονον κομιζων,
Γονον αμπελου, τον οἶνον,
Πεπεδημενον οπωραις
Επι κληματων φυλαττων·
Ἵν', ὁταν ταμωσι βοτρυν,
Ανοσοι μενωσι παντες,
Ανοσοι. δεμας θεητον,
Ανοσοι γλυκυν τε θυμον,
Ες ετους φανεντος αλλου.

Ν'.

ΕΙΣ ΔΙΣΚΟΝ ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ.

Αρα τις τορευσε ποντον;
Αρα τις μανεῖσα τεχνη,
Ανεχευε κῦμα δισκῳ,
Επι νῶτα τῆς θαλασσης;

---

* This variation of expression in the first three lines is obtained from the *Vatican MS.* *Brunck* repeats in each the same word ποτοις.

Digitized by Google

Αρα τις ὑπερ θαλασσαν
Ἀπαλην χαραξε Κυπριν,
Νοος ες θεους αερθεις,
Μακαρων φυσιος αρχην;
Ὁ δε νιν εδειξε γυμνην,
Χ' ὁσα μη θεμις ὁρᾶσθαι,
Μονα κῦμα συγκαλυπτει.
Αλαλημενη δ' επ' ακταν,
Βρυον ὡς ὑπερθε* λευκον
Ἀπαλοχροου γαληνης,
Δεμας ες πλοον φερουσα,
Ροθιον παροιθεν ἑλκει.
Ῥοδεων ὑπερθε μαζῶν,
Ἀπαλῆς ενερθε δειρῆς,
Μεγα κῦμα πρῶτα τεμνει.
Μεσον αυλακος δε Κυπρις,
Κρινον ὡς ιοις ἑλιχθεν,
Διαφαινεται γαληνης.
Ὑπερ αργυρῳ δ' οχοῦνται
Επι δελφισιν χορευταῖς,
Δολεροι νεον μετωπον†
Ερως, Ἱμερος γελῶντες.
Χορος ιχθυων δε κυρτος,
Επι κυματων κυβιστῶν,
Παφιης το σῶμα παιζει,
Ἱνα νηχεται γελῶσα.

---

* *Brunck* gives here ὑπερθε λευκαν (from below).

† The above text, adopted by *Heinsius*, seems preferable to the common reading followed by *Brunck*—δολερον νοον μ' ερωντων.

Digitized by Google

ΝΑ'.

ΕΠΙΛΗΝΙΟΣ ΩΙΔΗ.

Τον μελανοχρωτα βοτρυν
Ταλαροις φερουσιν* ανδρες,
Μετα παρθενων επ' ωμων·
Μετα ληνον δε βαλοντες
Μονον αρσενες πατοῦσι
Σταφυλην, λυοντες οινον,
Μεγα τον θεον κροτοῦντες
Επιληνιοισιν ὑμνοις,
Ερατον πιθοις ὁρῶντες
Νεον ες ζεοντα Βακχον,
Ὁν ὁταν πιῃ γεραιος,
Τρομεροῖς ποσιν χορευει,
Πολιας τριχας τινασσων.
Ὁ δε, παρθενον λοχησας,
Ερατος νεος μεθυσθεις,†
Ἀπαλον δεμας χυθεῖσαν
Σκιερῶν ὑπερθε φυλλων,
Βεβαρημενην ες ὑπνον
Ες ερωτ'‡ αωρα θελγει,
Προδοτιν γαμων γενεσθαι·

---

* The reading of *H. Stephens* is adopted here, in preference to that admitted by Brunck—*φεροντες ανδρες—κατα ληνον*

† *Brunck* retains the old reading, *ἐλυσθεις*, without regard to this emendation by *Stephens*.

‡ *Barnes* as above. *Brunck's* Analecta—Ὁ δ' Ερως αωρα θελγων

Ὁ δε μη λογοισι πειθων,
Τοτε μη θελουσαν αγχει.
Μετα γαρ νεων ὁ Βακχος
Μεθυων ατακτα παιζει.

ΝΒ'.

ΕΙΣ ῬΟΔΟΝ.

Στεφανηφορου μετ' ἠρος
Μελπομαι ῥοδον θερειον.
Συ δ', ἑταιρ' αεξε μελπειν.
Τοδε γαρ θεῶν αημα,
Τοδε και βροτῶν το χαρμα,
Χαρισιν τ' αγαλμ' εν ὡραις
Πολυανθεων Ερωτων,
Αφροδισιον τ' αθυρμα.
Τοδε και μελημα μυθοις,
Χαριεν φυτον τε Μουσῶν·
Γλυκυ και ποιοῦντι πεῖραν
Εν ακανθιναις ἀταρποῖς.
Γλυκυ δ' αὖ, λαβοντι θαλπειν
Μαλακαῖσι χερσι, κουφως
Προσαγοντ' Ερωτος ανθος.
Τῷ σοφῷ* τοδ' αυτο τερπνον

---

* *Baxter*'s reading is adopted in this line, where *Brunck* gives τῷ ψοφῳ.—Our second line is also varied from his word θερινον.

Digitized by Google

Θαλιαις τε και τραπεζαις,
Διονυσιοις θ' ἑορταῖς.
Τι δ' ανευ ῥοδου γενοιτ' αν;
Ροδοδακτυλος μεν Ηως,
Ῥοδοπηχεες δε Νυμφαι,
Ῥοδοχρους δε κ' Αφροδῖτα
Παρα τῶν σοφῶν καλεῖται.
Τοδε και νοσοῦσιν αρκεῖ,
Τοδε και νεκροῖς αμῦνει,
Τοδε και χρονον βιᾶται·
Χαριεν ῥοδων δε γῆρας
Νεοτητος εσχεν οδμην.
Φερε δη φυσιν λεγωμεν.
Χαροπῆς ὁτ' εκ θαλασσης
Δεδροσωμενην Κυθηρην
Ελοχευε Ποντος αφρῷ,
Πολεμοκλονον τ' Αθηνην
Κορυφῆς εδεικνυε Ζευς,
Φοβεραν θεαν Ολυμπῳ,
Τοτε και ῥοδων αγητῶν
Νεον ερνος ηνθισε Χθων,
Πολυδαιδαλον λοχευμα.
Μακαρων θεῶν δ' ὁμῖλος,
Ῥοδον ὡς γενοιτο, νεκταρ
Επιτεγξας, ανετειλεν
Αγερωχον εξ ακανθης
Φυτον αμβροτου Λυαιου.

Digitized by Google

ΝΓ'.

ΕΙΣ 'ΕΑΥΤΟΝ.

'Οτ' εγω νεων ὁμῖλον
'Εσορῶ, παρεστιν ἡβα.
Τοτε δη, τοτ' ες χορειην
'Ο γερων εγω πτεροῦμαι.
Περιμεινον με, Κυβηβα,
'Ροδα δος·* θελω στεφεσθαι.
Πολιον ἑκας δε γῆρας·
Νεος εν νεοις χορευσω.
Διονυσιης δε μοι τις
Φερετω δῶρον† ὁπωρης,
'Ιν' ἰδῃ γεροντος αλκην,
Δεδαηκοτος μεν ειπεῖν,
Δεδαηκοτος δε πινειν,
Χαριεντως τε μανῆναι.

---

* *Brunck* retains the old reading, παραδος: but the variation adopted by *Longepierre* seems preferable.

† *Barnes'* alteration appears an improvement on the reading followed by *Brunck*—φερετω ῥοιαν οπωρης.

Digitized by Google

ΝΔ'.

ΩΙΔΑΡΙΟΝ ΕΙΣ ΕΡΩΤΑΣ.

Εν ισχιοις μεν ἱπποί
Πυρος χαραγμ' εχουσι·
Και Παρθιους τις ανδρας
Εγνωρισεν τιᾱραις.
Εγω δε τους ερῶντας
Ιδων επισταμ' ευθυς·
Εχουσι γαρ τι λεπτον
Ψυχῆς εσω χαραγμα.*

*** The text of Brunck's *Analecta* has been closely followed in this publication, except the deviations expressly acknowledged in the *Notes*.—F. B.

ΤΕΛΟΣ.

Digitized by Google